Ισραηλ ἀνὰ μέσον τοῦ πνεύμονος καὶ ἀνὰ μέσον τοῦ θώρακος.
καὶ εἶπεν τῷ ἡνιόχῳ αὐτοῦ Ἐπίστρεψον τὰς χεῖράς σου καὶ ἐξ-
35 άγαγέ με ἐκ τοῦ πολέμου, ὅτι τέτρωμαι. [35]καὶ ἐτροπώθη ὁ πόλεμος
ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, καὶ ὁ βασιλεὺς ἦν ἑστηκὼς ἐπὶ τοῦ ἅρματος
ἐξ ἐναντίας Συρίας ἀπὸ πρωὶ ἕως ἑσπέρας καὶ ἀπέχυννε τὸ αἷμα
ἐκ τῆς πληγῆς εἰς τὸν κόλπον τοῦ ἅρματος· καὶ ἀπέθανεν ἑσπέ-
ρας, καὶ ἐξεπορεύετο τὸ αἷμα τῆς τροπῆς ἕως τοῦ κόλπου τοῦ ἅρ-
36 ματος. [36]καὶ ἔστη ὁ στρατοκῆρυξ δύνοντος τοῦ ἡλίου λέγων Ἕκα-
37 στος εἰς τὴν ἑαυτοῦ πόλιν καὶ εἰς τὴν ἑαυτοῦ γῆν, [37]ὅτι τέθνηκεν
ὁ βασιλεύς. καὶ ἦλθον εἰς Σαμάρειαν καὶ ἔθαψαν τὸν βασιλέα ἐν
38 Σαμαρείᾳ. [38]καὶ ἀπένιψαν τὸ ἅρμα ἐπὶ τὴν κρήνην Σαμαρείας, καὶ
ἐξέλειξαν αἱ ὕες καὶ οἱ κύνες τὸ αἷμα, καὶ αἱ πόρναι ἐλούσαντο
39 ἐν τῷ αἵματι κατὰ τὸ ῥῆμα κυρίου, ὃ ἐλάλησεν. [39]καὶ τὰ λοιπὰ
τῶν λόγων Αχααβ καὶ πάντα, ἃ ἐποίησεν, καὶ οἶκον ἐλεφάντινον,
ὃν ᾠκοδόμησεν, καὶ πάσας τὰς πόλεις, ἃς ἐποίησεν, οὐκ ἰδοὺ
ταῦτα γέγραπται ἐν βιβλίῳ λόγων τῶν ἡμερῶν τῶν βασιλέων
40 Ισραηλ; [40]καὶ ἐκοιμήθη Αχααβ μετὰ τῶν πατέρων αὐτοῦ, καὶ ἐβα-
σίλευσεν Οχοζιας υἱὸς αὐτοῦ ἀντ' αὐτοῦ.
41 [41]Καὶ Ιωσαφατ υἱὸς Ασα ἐβασίλευσεν ἐπὶ Ιουδα. ἔτει τετάρτῳ
42 τῷ Αχααβ βασιλέως Ισραηλ ἐβασίλευσεν. [42]Ιωσαφατ υἱὸς τριάκοντα
καὶ πέντε ἐτῶν ἐν τῷ βασιλεύειν αὐτὸν καὶ εἴκοσι καὶ πέντε ἔτη
ἐβασίλευσεν ἐν Ιερουσαλημ, καὶ ὄνομα τῇ μητρὶ αὐτοῦ Αζουβα
43 θυγάτηρ Σελεϊ. [43]καὶ ἐπορεύθη ἐν πάσῃ ὁδῷ Ασα τοῦ πατρὸς αὐ-
τοῦ· οὐκ ἐξέκλινεν ἀπ' αὐτῆς τοῦ ποιῆσαι τὸ εὐθὲς ἐν ὀφθαλμοῖς
44 κυρίου· [44]πλὴν τῶν ὑψηλῶν οὐκ ἐξῆρεν, ἔτι ὁ λαὸς ἐθυσίαζεν καὶ
45 ἐθυμίων ἐν τοῖς ὑψηλοῖς. [45]καὶ εἰρήνευσεν Ιωσαφατ μετὰ βασιλέως
46 Ισραηλ. [46]καὶ τὰ λοιπὰ τῶν λόγων Ιωσαφατ καὶ αἱ δυναστεῖαι
αὐτοῦ, ὅσα ἐποίησεν, οὐκ ἰδοὺ ταῦτα γεγραμμένα ἐν βιβλίῳ λόγων
51 τῶν ἡμερῶν τῶν βασιλέων Ιουδα; [51]καὶ ἐκοιμήθη Ιωσαφατ μετὰ

34 την χειρα *OL*† || 35 της ult.] pr. εκ A† || 36 στρατ.] + ※εν τη παρεμβολη *O* | fin.] + αποτρεχετω A† || 37 ηλθεν A† | σαμαρειαν] pr. την B† || 38 αρμα *O*] αιμα B pl., αιμα απο του αρματος *L* | αι υες και (cf. 20 19)] in *O* sub ÷, > *L* | αιμα] + ※αυτου *O*† || 39 ουκ] και B*O*† | βιβλιου A*L*† || 41—51 > *L*†, cf. 16 28[a–h] || 41 ιωσαφατ: cf. 32 | ιουδαν A | ετει τεταρτω τω BA†] εν ετει τετ. του rel. | βασ. ισρ. > B† || 42 υιος B*O*†] + ασα rel. | αζουβα] αζαεβα B† | σελει Ra. (cf. 16 28[a])] σεμεει B†, σαλαλα A†, σαλαει V pl. || 43 εν οφθ.] ενωπιον A: cf. 16 28[b] || 45 βασιλεων A† || 46 εποι.] + ※και οσα επολεμησεν *O*† | ουκ ιδου] ουχι A† | γεγραμμ.] pr. εν B† | των ημερων — fin.] ιωσαφαθ B† || post 46 addit *O*† ※(47) και περισσον του ενδιηλλαγμενου ο(A† ουχ) υπελειφθη εν ημεραις ασα πατρος αυτου επελεξεν απο της γης. (48) και βασιλευς ουκ ην εν εδωμ εστηλωμενος. και ο βασιλευς (49) ιωσαφατ εποιησεν νηας εις θαρσις (εις θ. > A†) του πορευθηναι ωφιρδε (cf. IV 16 9) εις χρυσιον και ουκ επορευθησαν, οτι συνετριβησαν νηες εν ασιωνγαβερ. (50) τοτε ειπεν οχοζιας υιος αχααβ προς ιωσαφατ πορευθητωσαν

SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id416246419/744 UNIVERSITÄT LEIPZIG